Bandini, Cod. Laurent. II, σσ. 275-276

Ἀργυρόπουλος
Ἰωάννης

Ὑπὸ Bandini περιγράφοντος τὸν ὑπ' ἀρ. Plut. LV cod. XIII κώδ. (15 αἰ.) σημειοῦται:

ΘΕΟΔΩΡΟΥ ΑΝΤΙΡΡΗΤΙΚΟΝ. Praecedit pag. 1b: [epistula]

Βησσαρίωνος Καρδινάλεως Ἰωάννῃ τῷ Ἀργυροπούλῳ εὖ πράττειν.

Ἀνέγνωμεν, ἃ πρὸς τὰ ἐν προοιμίοις τῆς ὑπὲρ Πλάτωνος ἀπολογίας ἐνιστάμενος γέγραφας. Ἐθαυμάσαμεν οὖν, ὅτι πρὸς οὕτω βραχὺ καὶ σαφῆ λόγον ἑλληνικὸν ζητοῦντα κατ' ἐπιδρομὴν καὶ ἐπιτετμημένως, εἰ ἔνια τῶν εἰδῶν εἴη χωριστὰ ἢ πάντῃ ἀχώριστα, καὶ εἰ χωριστά, πότερον καθ' αὑτὰ ὑφεστηκότα, ἢ ἐν ἐπινοίαις κείμενα; (ἄλλως γὰρ ἂν ἡμῖν τὰ Πορφυρίου πρὸς ἔπος ἐνθεῖσιν γνώριμα καὶ παισὶν ὄντα) τοσοῦτον λόγων πλῆθος ἀντέθηκας, οὐδέν, ὡς οἶμαι, δέον. Ἔπειτα καὶ ὡς περὶ μεγίστων δὴ τὸν λόγον ποιούμενα οὐ διεφερόμεθα(?) ἀναγνόντες, ὡς αὐτὸς ὑπετίθου. καὶ ἅμα ὅτι οὐδὲν ἂν ἐγίνετο προὔργου διαφερομένων. καὶ γὰρ δὴ πολλοῖς καὶ πρὸ ἡμῶν ἔγνωσται ἐν ταῖς δημοσίαις πρὸς τοὺς ἀκροατὰς ὁμιλίαις. καὶ ταῦτα σου πολλάκις περιενεχθέντος εἴτε πρὸς τὸ προκείμενον, εἴτε καὶ μὴ οὐδὲν δεῖ λέγειν. διεφράξαμεν οὖν τὰ ὦτα(?) οὐδαμῶς. αὐτοὶ δὲ ῥᾳθυμίαν, ὡς ἔοικε, σχολὴν ἄγοντες φιλοσοφῶν, φιλονεικεῖν ἅμα καὶ τὸ ἐρίζειν καὶ μάτην ἐπιδείκνυσθαι, Θεόδωρον ἐβιάσω τοὺς λόγους ὅσον δύνασθαι προελέσθαι(?), καὶ ποιῆ...

Ακαδημία Αθηνών / Academy of Athens

συνδιασκέψασθαι μετὰ σοῦ, εἰ τὰ ἡμῖν εἰρημένα οὔτ' ἐπὶ τῶν ὄντων, οὔτ' ἐπὶ τῶν μὴ ὄντων ἀληθεύει, ὡς φῄς, καὶ ἅμα γυμνασίας λογικῆς ἕνεκα, καὶ εἰ ἢ πεισθῆναι ἢ μεταπεῖσαι ἡμᾶς. ἐκεῖνος μὲν οὖν τὸ ζητηθὲν ἐκρίνεσεν. ἡμεῖς δὲ ὥσπερ καὶ πρότερον ταῦτα ἀκηκοότες καὶ εἰδότες, ὅμως οὐδένα πρὸς σὲ πεποιήμεθα λόγον, δεδιότες μὴ χαλεπήνῃς διὰ τὸ ἀόριστον, εἰ περὶ πλείονος ποιούμενοι τὸ εὐνοϊκὸν τῆς φιλοσοφίας, ἐκ δὲ τῆς ἀρχαίας περὶ σὲ διαθέσεως ἠμελήσαμεν, οὕτω καὶ νῦν ὠκνήσαμεν πέμψαι σοι τὰ γεγραμμένα, οὐκ ἠλπίζομεν ὅμοια ψυχῆς ἀρετῆς καὶ σὲ οἴσειν. καίτοι μετρίως τε καὶ πρὸς τὸν λόγον οὐ τὸν λέγοντα εἰρημένα καὶ ἅμα σοῦ ἄξοντος. τοῦτο δὲ οὐ δεινόν, εἴ τις ἀπολογεῖται μακρηγορήμενος· μᾶλλον δὲ τοῦτο μὲν ἀναγκαῖον, ἐκεῖνο δὲ περιττόν. καὶ μάλισθ' ὅτι καὶ μετὰ πλεῖστα ἄλλα περὶ κοινωνίας, δέον πρὸ πάντων εἰρήσθω ἀπ' εὐνοίας, ὡς φής, ἐγένετο. τὸ γὰρ ἀπ' εὐνοίας ἐν πρώτοις ἐν μόνοις τοῖς φιλτάτοις κείμεθα. εἰ οὖν ἔφαμεν, οὐ πέμπομέν σοι τὰ γεγραμμένα, οὔτ' ἴσως πέμψομεν εἰ μὴ ἐπαγγέλλοιο πρῶτον ἡμῖν ἄνευ ὕβρεως ἐκ χολῆς καὶ δυσμενείας καὶ ἀντειπεῖν, εἰ βούλοιο, καὶ πᾶσαν τὴν ψυχὴν ἀπαλλάξειν μῆνιν ἐκ θυμοῦ καὶ χόλου. τοῦτο δὲ φαμεν, ὡς οἷόν τε μὲν ἀνθρώπῳ καὶ μέρος τι παθητικὸν ψυχῆς ἔχοντι, σοφῷ δὲ ἄλλως, εἰ διὰ τῆς ἱερᾶς ἐκείνης φιλοσοφίας. Εὖ πράττοις.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ